Fol. V. p. 2.

ἐπειδὴ, καὶ ἰδίοιν ἄλλοις παραπλησίοις. κἀντεῦθεν ἔχετον
τὰς ἀρχὰς καὶ τῶν δογμάτων τὰς ὑποθέσεις. καὶ οὔτε ξυνο-
ρῶντον ἢ πίπτοντε ξενωθεῖτον τοὺς εὐήθεις καὶ ἀπαιδεύτους, οὔτε
ξυνιέτον οἱ χορευτῶν οἱ τῆς ὑμετέρας σοφίας ἀκροαταὶ καὶ δα-
ήμονες. ἀλλ' ὦ καλὼ (sic) κἀγαθὼ καὶ περιττὼ τὴν σοφίαν.
μὴ ζητεῖτον τὰ ὑπὲρ σφᾶν. μὴ δ' ἐρευνᾶτον τὰ ὑψηλότατα
καὶ ὑπερφυέστατα. παύσασθον περιεργαζόμενοι τὴν ἀπερί-
εργον καὶ ἀπόρρητον γέννησιν τοῦ υἱοῦ, καὶ ταύτης μᾶλλον
τὸν τρόπον. ὅτι (δεῖ) μὲν γὰρ ἐγεννήθη, τοῦτο πιστεύομεν. τοῦ
δὲ τὸν τρόπον οὐκ ἐδιδάχθημεν, ὑμῖν ἂν φαῖεν ἀσιανοί.
τί κενεμβατεῖτε. τί τερατολογεῖτε. τί καινογραφεῖτε.
τί πολυπραγμονεῖτε, τὰ πίστει μόνη γινωσκόμενα καὶ
τιμώμενα. μέγα ὑμῖν φασὶ τὸ μαθεῖν ὅτι γεγέννηται.
τὸ δὲ πῶς, οὐδὲ ἀγγέλοις ἐννοεῖν. μὴ ὅτι ὑμῖν τοῖς μηδὲ
τὰ ἐν ποσὶν εἰδέναι δυναμένοις, μᾶλλον δ' ἐν αὐτοῖς καὶ
διεφθαρμένον ἔχουσι τὸν ἐγκέφαλον. καὶ ὅτι μὲν ἐγέν-
νησεν ὁ θεὸς ἀχρόνως, πιστεύομεν. τὸν δὲ τρόπον τῆς γεν-
νήσεως, σιωπῇ τιμᾶν μεμαθήκαμεν. εἰ μὲν γὰρ πάντα
ἐγίνωσκεν ἄνθρωπος, καὶ μηδὲν αὐτὸν τῶν ὄντων ἐλάνθανε, συνε-
χώρησεν ἄν τις ὑμῖν ἴσως τὰ πάντα γινώσκειν, καὶ οὕτω γε
δὴ καὶ τὸν τρόπον μετὰ πάντων τῆς γεννήσεως τοῦ υἱοῦ.
εἰ δὲ πολλὰ ἀγνοεῖτε, μᾶλλον δὲ μυριοπλάσιά ἐστι τῶν
ἐγνωσμένων τὰ ἀγνοούμενα, τί οὐχὶ μετὰ πάντων, καὶ περὶ
τοῦ τρόπου τῆς σεπτῆς γεννήσεως τοῦ υἱοῦ τὴν ἀκίνδυνον
ἄγνοιαν ἀνεπαισχύντως ὁμολογεῖτε. καὶ ἔτι γ' ἐπὶ τού-
τοις προσθείην ἂν καὶ ταυτί. ὅτι γε περὶ τὸν πάντων βασι-
λέα τὰ πάντα ἐστὶ, καὶ ἐκείνου γε ἕνεκα πάντα, καὶ ἐκεῖνος (sic)
γε αἴτιος πάντων καλῶν. μόνος δ' ὁ υἱὸς ἐξ αὐτοῦ μόνου
καὶ μόνον τὸ πνεῦμα. ὁ μὲν ὡς λόγος γεννώμενος ἐκ τοῦ νοῦ.
τὸ δὲ, ὡς πνεῦμα ἐκπορευόμενον ἐξ ἀμφοῖν. συμπρόεισι γὰρ

malim abesse

tanti abes, ut